# Πρὸς Κολοσσαεῖς

Παῦλος ἀπόστολος Ἰησοῦ χριστοῦ διὰ θελήματος θεοῦ, καὶ Τιμόθεος[1] 1
ὁ ἀδελφός, τοῖς ἐν Κολασσαῖς[2] ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν χριστῷ: 2
χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ
χριστοῦ.

Εὐχαριστοῦμεν τῷ θεῷ καὶ πατρὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, 3
πάντοτε περὶ ὑμῶν προσευχόμενοι, ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν 4
χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, διὰ τὴν 5
ἐλπίδα τὴν ἀποκειμένην[3] ὑμῖν ἐν τοῖς οὐρανοῖς, ἣν προηκούσατε[4] ἐν
τῷ λόγῳ τῆς ἀληθείας τοῦ εὐαγγελίου, τοῦ παρόντος[5] εἰς ὑμᾶς, 6
καθὼς καὶ ἐν παντὶ τῷ κόσμῳ, καὶ ἔστιν καρποφορούμενον[6] καὶ
αὐξανόμενον,[7] καθὼς καὶ ἐν ὑμῖν ἀφ' ἧς ἡμέρας ἠκούσατε καὶ
ἐπέγνωτε τὴν χάριν τοῦ θεοῦ ἐν ἀληθείᾳ: καθὼς καὶ ἐμάθετε[8] ἀπὸ 7
Ἐπαφρᾶ[9] τοῦ ἀγαπητοῦ συνδούλου[10] ἡμῶν, ὅς ἐστιν πιστὸς ὑπὲρ
ὑμῶν διάκονος τοῦ χριστοῦ, ὁ καὶ δηλώσας[11] ἡμῖν τὴν ὑμῶν ἀγάπην 8
ἐν πνεύματι.

[1] Τιμόθεος, ου, ὁ, Timothy. [2] Κολοσσαί, ῶν, ἡ, Colossae. [3] ἀπόκειμαι, be laid up, put away. [4] προακούω, hear beforehand. [5] πάρειμι, be present, have arrived. [6] καρποφορέω, bear fruit. [7] αὐξάνω, cause to grow, increase. [8] μανθάνω, learn, ascertain. [9] Ἐπαφρᾶς, ᾶ, ὁ, Epaphras. [10] σύνδουλος, ου, ὁ, fellow slave, fellow servant. [11] δηλόω, show, make clear.

Διὰ τοῦτο καὶ ἡμεῖς, ἀφ’ ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυόμεθα[1] ὑπὲρ 9
ὑμῶν προσευχόμενοι, καὶ αἰτούμενοι ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν[2]
τοῦ θελήματος αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει[3] πνευματικῇ,[4] 10
περιπατῆσαι ὑμᾶς ἀξίως[5] τοῦ κυρίου εἰς πᾶσαν ἀρέσκειαν,[6] ἐν παντὶ
ἔργῳ ἀγαθῷ καρποφοροῦντες[7] καὶ αὐξανόμενοι[8] εἰς τὴν ἐπίγνωσιν[2]
τοῦ θεοῦ: ἐν πάσῃ δυνάμει δυναμούμενοι[9] κατὰ τὸ κράτος[10] τῆς 11
δόξης αὐτοῦ, εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν[11] μετὰ χαρᾶς: 12
εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι[12] ἡμᾶς εἰς τὴν μερίδα[13] τοῦ
κλήρου[14] τῶν ἁγίων ἐν τῷ φωτί, ὃς ἐρρύσατο[15] ἡμᾶς ἐκ τῆς ἐξουσίας 13
τοῦ σκότους, καὶ μετέστησεν[16] εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς
ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν,[17] τὴν ἄφεσιν[18] τῶν 14
ἁμαρτιῶν: ὅς ἐστιν εἰκὼν[19] τοῦ θεοῦ τοῦ ἀοράτου,[20] πρωτότοκος[21] 15
πάσης κτίσεως:[22] ὅτι ἐν αὐτῷ ἐκτίσθη[23] τὰ πάντα, τὰ ἐν τοῖς οὐρανοῖς 16
καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ[24] καὶ τὰ ἀόρατα,[20] εἴτε θρόνοι, εἴτε
κυριότητες,[25] εἴτε ἀρχαί, εἴτε ἐξουσίαι: τὰ πάντα δι’ αὐτοῦ καὶ εἰς
αὐτὸν ἔκτισται:[23] καὶ αὐτός ἐστιν πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ 17
συνέστηκεν.[26] Καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώματος, τῆς 18
ἐκκλησίας: ὅς ἐστιν ἀρχή, πρωτότοκος[21] ἐκ τῶν νεκρῶν, ἵνα γένηται
ἐν πᾶσιν αὐτὸς πρωτεύων:[27] ὅτι ἐν αὐτῷ εὐδόκησεν[28] πᾶν τὸ 19

[1] παύω, cause to cease. [2] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [3] σύνεσις, εως, ἡ, understanding, insight. [4] πνευματικός, spiritual. [5] ἀξίως, worthily, in a manner worthy of. [6] ἀρέσκεια, ας, ἡ, pleasing, willing service. [7] καρποφορέω, bear fruit. [8] αὐξάνω, cause to grow, increase. [9] δυναμόω, strengthen, enable. [10] κράτος, ους, τό, power, dominion. [11] μακροθυμία, ας, ἡ, long-suffering, patience. [12] ἱκανόω, make sufficient, qualify. [13] μερίς, ίδος, ἡ, part, portion. [14] κλῆρος, ου, ὁ, lot, portion. [15] ῥύομαι, rescue, save. [16] μεθίστημι, remove, turn away. [17] ἀπολύτρωσις, εως, ἡ, redemption, deliverance. [18] ἄφεσις, εως, ἡ, release, forgiveness. [19] εἰκών, όνος, ἡ, image, likeness. [20] ἀόρατος, invisible, unseen. [21] πρωτότοκος, first-born. [22] κτίσις, εως, ἡ, creation, creature. [23] κτίζω, create, form. [24] ὁρατός, visible. [25] κυριότης, ητος, ἡ, lordship, dominion. [26] συνίστημι, commend (transitive), stand with. [27] πρωτεύω, be first, have first place. [28] εὐδοκέω, think it good, be well pleased with.

πλήρωμα[1] κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι[2] τὰ πάντα εἰς 20
αὐτόν, εἰρηνοποιήσας[3] διὰ τοῦ αἵματος τοῦ σταυροῦ[4] αὐτοῦ, δι'
αὐτοῦ, εἴτε τὰ ἐπὶ τῆς γῆς, εἴτε τὰ ἐπὶ τοῖς οὐρανοῖς. Καὶ ὑμᾶς ποτὲ 21
ὄντας ἀπηλλοτριωμένους[5] καὶ ἐχθροὺς τῇ διανοίᾳ[6] ἐν τοῖς ἔργοις τοῖς
πονηροῖς, νυνὶ[7] δὲ ἀποκατήλλαξεν[2] ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ 22
διὰ τοῦ θανάτου, παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους[8] καὶ
ἀνεγκλήτους[9] κατενώπιον[10] αὐτοῦ: εἴγε[11] ἐπιμένετε[12] τῇ πίστει 23
τεθεμελιωμένοι[13] καὶ ἑδραῖοι,[14] καὶ μὴ μετακινούμενοι[15] ἀπὸ τῆς
ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ κηρυχθέντος ἐν πάσῃ τῇ
κτίσει[16] τῇ ὑπὸ τὸν οὐρανόν, οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος.

Νῦν χαίρω ἐν τοῖς παθήμασιν[17] ὑπὲρ ὑμῶν, καὶ ἀνταναπληρῶ[18] τὰ 24
ὑστερήματα[19] τῶν θλίψεων τοῦ χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ
σώματος αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία: ἧς ἐγενόμην ἐγὼ διάκονος, κατὰ 25
τὴν οἰκονομίαν[20] τοῦ θεοῦ τὴν δοθεῖσάν μοι εἰς ὑμᾶς, πληρῶσαι τὸν
λόγον τοῦ θεοῦ, τὸ μυστήριον[21] τὸ ἀποκεκρυμμένον[22] ἀπὸ τῶν 26
αἰώνων καὶ ἀπὸ τῶν γενεῶν: νυνὶ[7] δὲ ἐφανερώθη τοῖς ἁγίοις αὐτοῦ, 27
οἷς ἠθέλησεν ὁ θεὸς γνωρίσαι[23] τί τὸ πλοῦτος[24] τῆς δόξης τοῦ
μυστηρίου[21] τούτου ἐν τοῖς ἔθνεσιν, ὅς ἐστιν χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς
τῆς δόξης: ὃν ἡμεῖς καταγγέλλομεν,[25] νουθετοῦντες[26] πάντα 28

[1] πλήρωμα, τος, τό, fullness, fulfillment. [2] ἀποκαταλλάσσω, reconcile. [3] εἰρηνοποιέω, make peace, reconcile. [4] σταυρός, οῦ, ὁ, cross. [5] ἀπαλλοτριόομαι, alienate, estrange. [6] διάνοια, ας, ἡ, mind, understanding. [7] νυνί, now, already. [8] ἄμωμος, without blemish, blameless. [9] ἀνέγκλητος, above reproach, blameless. [10] κατενώπιον, before, in the presence of (gen). [11] εἴγε, if indeed, seeing that. [12] ἐπιμένω, continue, remain. [13] θεμελιόω, lay a foundation, found. [14] ἑδραῖος, steadfast, firm. [15] μετακινέω, shift, remove. [16] κτίσις, εως, ἡ, creation, creature. [17] πάθημα, τος, τό, suffering, passion. [18] ἀνταναπληρόω, fill up in turn. [19] ὑστέρημα, τος, τό, that which is lacking, need. [20] οἰκονομία, ας, ἡ, stewardship, administration. [21] μυστήριον, ου, τό, secret, mystery. [22] ἀποκρύπτω, hide, conceal. [23] γνωρίζω, make known, declare. [24] πλοῦτος, ου, ὁ, wealth, riches. [25] καταγγέλλω, proclaim, declare openly. [26] νουθετέω, admonish, exhort.

ἄνθρωπον, καὶ διδάσκοντες πάντα ἄνθρωπον ἐν πάσῃ σοφίᾳ, ἵνα
παραστήσωμεν πάντα ἄνθρωπον τέλειον[1] ἐν χριστῷ Ἰησοῦ: εἰς ὃ καὶ 29
κοπιῶ,[2] ἀγωνιζόμενος[3] κατὰ τὴν ἐνέργειαν[4] αὐτοῦ, τὴν ἐνεργουμένην[5]
ἐν ἐμοὶ ἐν δυνάμει.

Θέλω γὰρ ὑμᾶς εἰδέναι ἡλίκον[6] ἀγῶνα[7] ἔχω περὶ ὑμῶν καὶ τῶν ἐν **2**
Λαοδικείᾳ,[8] καὶ ὅσοι οὐχ ἑωράκασιν τὸ πρόσωπόν μου ἐν σαρκί, ἵνα 2
παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, συμβιβασθέντων[9] ἐν ἀγάπῃ, καὶ
εἰς πάντα πλοῦτον[10] τῆς πληροφορίας[11] τῆς συνέσεως,[12] εἰς ἐπίγνωσιν
τοῦ μυστηρίου[14] τοῦ θεοῦ καὶ πατρὸς καὶ τοῦ χριστοῦ, ἐν ᾧ εἰσὶν 3
πάντες οἱ θησαυροὶ[15] τῆς σοφίας καὶ τῆς γνώσεως[16] ἀπόκρυφοι.[17] 4
Τοῦτο δὲ λέγω, ἵνα μή τις ὑμᾶς παραλογίζηται[18] ἐν πιθανολογίᾳ.[19] Εἰ 5
γὰρ καὶ τῇ σαρκὶ ἄπειμι,[20] ἀλλὰ τῷ πνεύματι σὺν ὑμῖν εἰμί, χαίρων
καὶ βλέπων ὑμῶν τὴν τάξιν,[21] καὶ τὸ στερέωμα[22] τῆς εἰς χριστὸν
πίστεως ὑμῶν.

Ὡς οὖν παρελάβετε τὸν χριστὸν Ἰησοῦν τὸν κύριον, ἐν αὐτῷ 6
περιπατεῖτε, ἐρριζωμένοι[23] καὶ ἐποικοδομούμενοι[24] ἐν αὐτῷ, καὶ 7
βεβαιούμενοι[25] ἐν τῇ πίστει, καθὼς ἐδιδάχθητε, περισσεύοντες ἐν
αὐτῇ ἐν εὐχαριστίᾳ.[26]

[1] τέλειος, complete, perfect. [2] κοπιάω, toil, labor. [3] ἀγωνίζομαι, contend, struggle. [4] ἐνέργεια, ας, ἡ, operative power, working. [5] ἐνεργέω, work, effect. [6] ἡλίκος, how great, how small. [7] ἀγών, ῶνος, ὁ, struggle, fight. [8] Λαοδικεία, ας, ἡ, Laodicea. [9] συμβιβάζω, hold together, instruct. [10] πλοῦτος, ου, ὁ, wealth, riches. [11] πληροφορία, ας, ἡ, full assurance, certainty. [12] σύνεσις, εως, ἡ, understanding, insight. [13] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [14] μυστήριον, ου, τό, secret, mystery. [15] θησαυρός, οῦ, ὁ, storehouse, treasure. [16] γνῶσις, εως, ἡ, wisdom, knowledge. [17] ἀπόκρυφος, hidden, secret. [18] παραλογίζομαι, deceive, mislead. [19] πιθανολογία, ας, ἡ, persuasive speech. [20] ἄπειμι, go away, depart. [21] τάξις, εως, ἡ, arranging, order. [22] στερέωμα, τος, τό, firmament, firmness. [23] ῥιζόω, root, fix by the root. [24] ἐποικοδομέω, build upon, build upon a foundation. [25] βεβαιόω, confirm, secure. [26] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness.

Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν[1] διὰ τῆς φιλοσοφίας[2] καὶ 8
κενῆς[3] ἀπάτης,[4] κατὰ τὴν παράδοσιν[5] τῶν ἀνθρώπων, κατὰ τὰ
στοιχεῖα[6] τοῦ κόσμου, καὶ οὐ κατὰ χριστόν: ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν 9
τὸ πλήρωμα[7] τῆς θεότητος[8] σωματικῶς,[9] καί ἐστε ἐν αὐτῷ 10
πεπληρωμένοι, ὅς ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας: ἐν ᾧ 11
καὶ περιετμήθητε[10] περιτομῇ ἀχειροποιήτῳ,[11] ἐν τῇ ἀπεκδύσει[12] τοῦ
σώματος τῶν ἁμαρτιῶν τῆς σαρκός, ἐν τῇ περιτομῇ τοῦ χριστοῦ, 12
συνταφέντες[13] αὐτῷ ἐν τῷ βαπτίσματι,[14] ἐν ᾧ καὶ συνηγέρθητε[15] διὰ
τῆς πίστεως τῆς ἐνεργείας[16] τοῦ θεοῦ, τοῦ ἐγείραντος αὐτὸν ἐκ τῶν
νεκρῶν. Καὶ ὑμᾶς, νεκροὺς ὄντας ἐν τοῖς παραπτώμασιν[17] καὶ τῇ 13
ἀκροβυστίᾳ[18] τῆς σαρκὸς ὑμῶν, συνεζῳοποίησεν[19] ὑμᾶς σὺν αὐτῷ,
χαρισάμενος[20] ἡμῖν πάντα τὰ παραπτώματα,[17] ἐξαλείψας[21] τὸ καθ’ 14
ἡμῶν χειρόγραφον[22] τοῖς δόγμασιν,[23] ὃ ἦν ὑπεναντίον[24] ἡμῖν: καὶ
αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας[25] αὐτὸ τῷ σταυρῷ:[26] 15
ἀπεκδυσάμενος[27] τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν[28] ἐν
παρρησίᾳ, θριαμβεύσας[29] αὐτοὺς ἐν αὐτῷ.

[1] συλαγωγέω, make captive of, carry off as spoil. [2] φιλοσοφία, ας, ἡ, philosophy, love of wisdom. [3] κενός, empty, vain. [4] ἀπάτη, ης, ἡ, deceit, deceitfulness. [5] παράδοσις, εως, ἡ, tradition, instruction. [6] στοιχεῖον, τό, elementary principles, elements. [7] πλήρωμα, τος, τό, fullness, fulfillment. [8] θεότης, ητος, ἡ, divine nature, deity. [9] σωματικῶς, in bodily form, bodily. [10] περιτέμνω, circumcize, circumcise. [11] ἀχειροποίητος, not made with hands, not made by hand. [12] ἀπέκδυσις, εως, ἡ, removal, stripping off. [13] συνθάπτω, bury along with. [14] βάπτισμα, τος, τό, baptism, rite or ceremony of baptism. [15] συνεγείρω, raise up with, raise along with. [16] ἐνέργεια, ας, ἡ, operative power, working. [17] παράπτωμα, τος, τό, trespass, falling away. [18] ἀκροβυστία, ας, ἡ, uncircumcision, foreskin. [19] συζωοποιέω, make alive together with someone. [20] χαρίζομαι, give freely, forgive. [21] ἐξαλείφω, wipe out, erase. [22] χειρόγραφον, ου, τό, account, record of debts. [23] δόγμα, τος, τό, a public decree, ordinance. [24] ὑπεναντίος, opposed, contrary. [25] προσηλόω, nail (fast), nail to. [26] σταυρός, οῦ, ὁ, cross. [27] ἀπεκδύομαι, strip off, disarm. [28] δειγματίζω, make a show of, expose. [29] θριαμβεύω, lead in a triumphal procession.

Μὴ οὖν τις ὑμᾶς κρινέτω ἐν βρώσει[1] ἢ ἐν πόσει,[2] ἢ ἐν μέρει ἑορτῆς[3] ἢ 16
νουμηνίας[4] ἢ σαββάτων: ἅ ἐστιν σκιὰ[5] τῶν μελλόντων, τὸ δὲ σῶμα 17
χριστοῦ. Μηδεὶς ὑμᾶς καταβραβευέτω[6] θέλων ἐν ταπεινοφροσύνῃ[7] 18
καὶ θρησκείᾳ[8] τῶν ἀγγέλων, ἃ μὴ ἑώρακεν ἐμβατεύων,[9] εἰκῇ[10]
φυσιούμενος[11] ὑπὸ τοῦ νοὸς[12] τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ κρατῶν τὴν 19
κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα, διὰ τῶν ἁφῶν[13] καὶ συνδέσμων[14]
ἐπιχορηγούμενον[15] καὶ συμβιβαζόμενον,[16] αὔξει[17] τὴν αὔξησιν[18] τοῦ
θεοῦ.

Εἰ ἀπεθάνετε σὺν χριστῷ, ἀπὸ τῶν στοιχείων[19] τοῦ κόσμου, τί ὡς 20
ζῶντες ἐν κόσμῳ δογματίζεσθε,[20] Μὴ ἅψῃ, μηδὲ γεύσῃ,[21] μηδὲ θίγῃς 21
– ἅ ἐστιν πάντα εἰς φθορὰν[23] τῇ ἀποχρήσει[24] – κατὰ τὰ ἐντάλματα[25] 22
καὶ διδασκαλίας[26] τῶν ἀνθρώπων; Ἅτινά ἐστιν λόγον μὲν ἔχοντα 23
σοφίας ἐν ἐθελοθρησκείᾳ[27] καὶ ταπεινοφροσύνῃ[7] καὶ ἀφειδίᾳ[28]
σώματος, οὐκ ἐν τιμῇ τινὶ πρὸς πλησμονὴν[29] τῆς σαρκός.

Εἰ οὖν συνηγέρθητε[30] τῷ χριστῷ, τὰ ἄνω[31] ζητεῖτε, οὗ[32] ὁ χριστός ἐστιν **3**
ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος. Τὰ ἄνω[31] φρονεῖτε,[33] μὴ τὰ ἐπὶ τῆς γῆς. 2
Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται[34] σὺν τῷ χριστῷ ἐν τῷ

[1] βρῶσις, εως, ἡ, eating, food. [2] πόσις, εως, ἡ, drinking, drink. [3] ἑορτή, ῆς, ἡ, feast, festival. [4] νουμηνία, ας, ἡ, new moon as a festival. [5] σκιά, ᾶς, ἡ, shadow, thick darkness. [6] καταβραβεύω, rob of a prize, decide against. [7] ταπεινοφροσύνη, ης, ἡ, lowliness of mind, humility. [8] θρησκεία, ας, ἡ, religion, worship. [9] ἐμβατεύω, enter into, enter. [10] εἰκῇ, without cause or reason, vainly. [11] φυσιόω, puff or blow up, be arrogant. [12] νοῦς, ὁ, mind, reasoning faculty. [13] ἁφή, ῆς, ἡ, joint, band. [14] σύνδεσμος, ου, ὁ, bond, fetter. [15] ἐπιχορηγέω, supply, provide. [16] συμβιβάζω, hold together, instruct. [17] αὐξάνω, cause to grow, increase. [18] αὔξησις, εως, ἡ, growth, increase. [19] στοιχεῖον, τό, elementary principles, elements. [20] δογματίζω, subject to regulations, decree. [21] γεύομαι, taste, experience. [22] θιγγάνω, touch, handle. [23] φθορά, ᾶς, ἡ, destruction, corruption. [24] ἀπόχρησις, εως, ἡ, consuming, using up. [25] ἔνταλμα, τος, τό, precept, commandment. [26] διδασκαλία, ας, ἡ, teaching, doctrine. [27] ἐθελοθρησκεία, ας, ἡ, arbitrary worship. [28] ἀφειδία, ας, ἡ, unsparing treatment, severity. [29] πλησμονή, ῆς, ἡ, indulgence, satisfaction. [30] συνεγείρω, raise up with, raise along with. [31] ἄνω, up, above. [32] οὗ, where, when. [33] φρονέω, think, judge. [34] κρύπτω, conceal, hide.

θεῷ. Ὅταν ὁ χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς σὺν 4
αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

Νεκρώσατε[1] οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν,[2] ἀκαθαρσίαν,[3] 5
πάθος,[4] ἐπιθυμίαν κακήν, καὶ τὴν πλεονεξίαν,[5] ἥτις ἐστὶν
εἰδωλολατρεία,[6] δι᾽ ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ ἐπὶ τοὺς υἱοὺς τῆς 6
ἀπειθείας·[7] ἐν οἷς καὶ ὑμεῖς περιεπατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν αὐτοῖς. 7
Νυνὶ[8] δὲ ἀπόθεσθε[9] καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν,[10] κακίαν,[11]
βλασφημίαν,[12] αἰσχρολογίαν[13] ἐκ τοῦ στόματος ὑμῶν· μὴ ψεύδεσθε[14] 9
εἰς ἀλλήλους, ἀπεκδυσάμενοι[15] τὸν παλαιὸν[16] ἄνθρωπον σὺν ταῖς
πράξεσιν[17] αὐτοῦ, καὶ ἐνδυσάμενοι[18] τὸν νέον,[19] τὸν ἀνακαινούμενον[20] 10
εἰς ἐπίγνωσιν[21] κατ᾽ εἰκόνα[22] τοῦ κτίσαντος[23] αὐτόν· ὅπου οὐκ ἔνι[24] 11
Ἕλλην[25] καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία,[26] βάρβαρος,[27]
Σκύθης,[28] δοῦλος, ἐλεύθερος·[29] ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσιν χριστός.

Ἐνδύσασθε[18] οὖν, ὡς ἐκλεκτοὶ[30] τοῦ θεοῦ, ἅγιοι καὶ ἠγαπημένοι, 12
σπλάγχνα[31] οἰκτιρμοῦ,[32] χρηστότητα,[33] ταπεινοφροσύνην,[34]
πρᾳότητα,[35] μακροθυμίαν·[36] ἀνεχόμενοι[37] ἀλλήλων, καὶ χαριζόμενοι[38] 13
ἑαυτοῖς, ἐάν τις πρός τινα ἔχῃ μομφήν·[39] καθὼς καὶ ὁ χριστὸς

[1] νεκρόω, put to death, render weak. [2] πορνεία, ας, ἡ, fornication, idolatry. [3] ἀκαθαρσία, ας, ἡ, uncleanness, impurity. [4] πάθος, ους, τό, suffering, pain. [5] πλεονεξία, ας, ἡ, covetousness, avarice. [6] εἰδωλολατρεία, ας, ἡ, worship or service of an image. [7] ἀπείθεια, ας, ἡ, disobedience, willful unbelief. [8] νυνί, now, already. [9] ἀποτίθημι, put off, lay aside. [10] θυμός, ου, ὁ, wrath, outburst of passion. [11] κακία, ας, ἡ, malice, evil. [12] βλασφημία, ας, ἡ, blasphemy, reproach. [13] αἰσχρολογία, ας, ἡ, obscene speech, dirty talk. [14] ψεύδομαι, lie. [15] ἀπεκδύομαι, strip off, disarm. [16] παλαιός, old, ancient. [17] πρᾶξις, εως, ἡ, deed, function. [18] ἐνδύω, put on, clothe. [19] νέος, new, young. [20] ἀνακαινόω, renew, amend. [21] ἐπίγνωσις, εως, ἡ, knowledge, discernment. [22] εἰκών, όνος, ἡ, image, likeness. [23] κτίζω, create, form. [24] ἔνι, there is in, is present. [25] Ἕλλην, ηνος, ὁ, Greek, Hellene. [26] ἀκροβυστία, ας, ἡ, uncircumcision, foreskin. [27] βάρβαρος, barbarous, barbarian. [28] Σκύθης, ου, ὁ, Scythian. [29] ἐλεύθερος, free, delivered from obligation. [30] ἐκλεκτός, chosen, elect. [31] σπλάγχνα, ων, τά, bowels, compassion. [32] οἰκτιρμός, οῦ, ὁ, compassion, pity. [33] χρηστότης, ητος, ἡ, goodness, kindness. [34] ταπεινοφροσύνη, ης, ἡ, lowliness of mind, humility. [35] πρᾳΰτης, mildness, gentleness. [36] μακροθυμία, ας, ἡ, long-suffering, patience. [37] ἀνέχομαι, endure, bear with. [38] χαρίζομαι, give freely, forgive. [39] μομφή, ῆς, ἡ, blame, (cause for) complaint.

ἐχαρίσατο[1] ὑμῖν, οὕτως[2] καὶ ὑμεῖς: ἐπὶ πᾶσιν δὲ τούτοις τὴν ἀγάπην, 14
ἥτις ἐστὶν σύνδεσμος[3] τῆς τελειότητος.[4] Καὶ ἡ εἰρήνη τοῦ θεοῦ 15
βραβευέτω[5] ἐν ταῖς καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι:
καὶ εὐχάριστοι[6] γίνεσθε. Ὁ λόγος τοῦ χριστοῦ ἐνοικείτω[7] ἐν ὑμῖν 16
πλουσίως[8] ἐν πάσῃ σοφίᾳ: διδάσκοντες καὶ νουθετοῦντες[9] ἑαυτούς,
ψαλμοῖς,[10] καὶ ὕμνοις,[11] καὶ ᾠδαῖς[12] πνευματικαῖς,[13] ἐν χάριτι ᾄδοντες
ἐν τῇ καρδίᾳ ὑμῶν τῷ κυρίῳ. Καὶ πᾶν ὅ τι ἂν ποιῆτε, ἐν λόγῳ ἢ ἐν 17
ἔργῳ, πάντα ἐν ὀνόματι κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ καὶ
πατρὶ δι᾽ αὐτοῦ.

Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἰδίοις ἀνδράσιν, ὡς ἀνῆκεν[15] ἐν κυρίῳ. 18
Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖκας, καὶ μὴ πικραίνεσθε[16] πρὸς αὐτάς. 20
Τὰ τέκνα, ὑπακούετε[17] τοῖς γονεῦσιν[18] κατὰ πάντα: τοῦτο γάρ ἐστιν
εὐάρεστον[19] ἐν κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθίζετε[20] τὰ τέκνα ὑμῶν, ἵνα 21
μὴ ἀθυμῶσιν.[21] Οἱ δοῦλοι, ὑπακούετε[17] κατὰ πάντα τοῖς κατὰ σάρκα 22
κυρίοις, μὴ ἐν ὀφθαλμοδουλείαις[22] ὡς ἀνθρωπάρεσκοι,[23] ἀλλ᾽ ἐν
ἁπλότητι[24] καρδίας, φοβούμενοι τὸν θεόν: καὶ πᾶν ὅ τι ἐὰν ποιῆτε, ἐκ 23
ψυχῆς ἐργάζεσθε, ὡς τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις: εἰδότες ὅτι ἀπὸ 24
κυρίου λήψεσθε τὴν ἀνταπόδοσιν[25] τῆς κληρονομίας:[26] τῷ γὰρ κυρίῳ
χριστῷ δουλεύετε.[27] Ὁ δὲ ἀδικῶν[28] κομιεῖται[29] ὃ ἠδίκησεν:[28] καὶ οὐκ 25

[1] χαρίζομαι, give freely, forgive. [2] οὕτως, thus, so. [3] σύνδεσμος, ου, ὁ, bond, fetter. [4] τελειότης, ητος, ἡ, perfection, completeness. [5] βραβεύω, be judge, rule. [6] εὐχάριστος, thankful, grateful. [7] ἐνοικέω, dwell in, am settled in. [8] πλουσίως, richly, abundantly. [9] νουθετέω, admonish, exhort. [10] ψαλμός, οῦ, ὁ, song of praise, psalm. [11] ὕμνος, ου, ὁ, song of praise, hymn. [12] ᾠδή, ῆς, ἡ, song, ode. [13] πνευματικός, spiritual. [14] ᾄδω, sing. [15] ἀνήκω, be fit, be proper. [16] πικραίνω, make bitter, embitter. [17] ὑπακούω, obey, listen. [18] γονεύς, έως, ὁ, parent. [19] εὐάρεστος, well-pleasing, acceptable. [20] ἐρεθίζω, arouse, provoke. [21] ἀθυμέω, be discouraged, disheartened. [22] ὀφθαλμοδουλεία, ας, ἡ, service rendered only while the master watches. [23] ἀνθρωπάρεσκος, people pleaser. [24] ἁπλότης, ητος, ἡ, singleness, hence simplicity. [25] ἀνταπόδοσις, εως, ἡ, recompense, reward. [26] κληρονομία, ας, ἡ, inheritance. [27] δουλεύω, serve, am a slave. [28] ἀδικέω, do wrong, harm. [29] κομίζω, receive, bring.

ἔστιν προσωποληψία.[1]

Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσότητα[2] τοῖς δούλοις παρέχεσθε,[3] εἰδότες **4**
ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανοῖς.

Τῇ προσευχῇ προσκαρτερεῖτε,[4] γρηγοροῦντες[5] ἐν αὐτῇ ἐν εὐχαριστίᾳ·[6] 2
προσευχόμενοι ἅμα[7] καὶ περὶ ἡμῶν, ἵνα ὁ θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ
λόγου, λαλῆσαι τὸ μυστήριον[8] τοῦ χριστοῦ, δι' ὃ καὶ δέδεμαι· ἵνα 4
φανερώσω αὐτό, ὡς δεῖ με λαλῆσαι. Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς 5
ἔξω, τὸν καιρὸν ἐξαγοραζόμενοι.[9] Ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, 6
ἅλατι[10] ἠρτυμένος,[11] εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.

Τὰ κατ' ἐμὲ πάντα γνωρίσει[12] ὑμῖν Τυχικός,[13] ὁ ἀγαπητὸς ἀδελφὸς καὶ 7
πιστὸς διάκονος καὶ σύνδουλος[14] ἐν κυρίῳ· ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς 8
αὐτὸ τοῦτο, ἵνα γνῷ τὰ περὶ ὑμῶν καὶ παρακαλέσῃ τὰς καρδίας
ὑμῶν· σὺν Ὀνησίμῳ[15] τῷ πιστῷ καὶ ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ 9
ὑμῶν. Πάντα ὑμῖν γνωριοῦσιν[12] τὰ ὧδε.

Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος[16] ὁ συναιχμάλωτός[17] μου, καὶ Μάρκος[18] ὁ 10
ἀνεψιὸς[19] Βαρνάβᾳ,[20] περὶ οὗ ἐλάβετε ἐντολάς – ἐὰν ἔλθῃ πρὸς ὑμᾶς,
δέξασθε αὐτόν· καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος,[21] οἱ ὄντες ἐκ 11

[1] προσωποληψία, ας, ἡ, partiality, favoritism. [2] ἰσότης, ητος, ἡ, equality, fairness. [3] παρέχω, offer, afford. [4] προσκαρτερέω, continue in or with, persist. [5] γρηγορέω, watch, keep watch. [6] εὐχαριστία, ας, ἡ, thanksgiving, thankfulness. [7] ἅμα, at the same time. [8] μυστήριον, ου, τό, secret, mystery. [9] ἐξαγοράζω, redeem, make the most of. [10] ἅλας, ατος, τό, salt. [11] ἀρτύω, season, make salty. [12] γνωρίζω, make known, declare. [13] Τυχικός, οῦ, ὁ, Tychicus. [14] σύνδουλος, ου, ὁ, fellow slave, fellow servant. [15] Ὀνήσιμος, ου, ὁ, Onesimus. [16] Ἀρίσταρχος, ου, ὁ, Aristarchus. [17] συναιχμάλωτος, ου, ὁ, fellow prisoner, fellow captive. [18] Μᾶρκος, ου, ὁ, Mark. [19] ἀνεψιός, οῦ, ὁ, cousin. [20] Βαρνάβας, ὁ, Barnabas. [21] Ἰοῦστος, ου, ὁ, Justus.

περιτομῆς: οὗτοι μόνοι συνεργοὶ[1] εἰς τὴν βασιλείαν τοῦ θεοῦ, οἵτινες
ἐγενήθησάν μοι παρηγορία.[2] Ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς[3] ὁ ἐξ ὑμῶν, 12
δοῦλος χριστοῦ, πάντοτε ἀγωνιζόμενος[4] ὑπὲρ ὑμῶν ἐν ταῖς
προσευχαῖς, ἵνα στῆτε τέλειοι[5] καὶ πεπληρωμένοι ἐν παντὶ θελήματι
τοῦ θεοῦ. Μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει ζῆλον[6] πολὺν ὑπὲρ ὑμῶν καὶ 13
τῶν ἐν Λαοδικείᾳ[7] καὶ τῶν ἐν Ἱεραπόλει.[8] Ἀσπάζεται ὑμᾶς Λουκᾶς[9] ὁ 14
ἰατρὸς[10] ὁ ἀγαπητός, καὶ Δημᾶς.[11] Ἀσπάσασθε τοὺς ἐν Λαοδικείᾳ[7] 15
ἀδελφούς, καὶ Νυμφᾶν,[12] καὶ τὴν κατ᾽ οἶκον αὐτοῦ ἐκκλησίαν. Καὶ 16
ὅταν ἀναγνωσθῇ παρ᾽ ὑμῖν ἡ ἐπιστολή,[13] ποιήσατε ἵνα καὶ ἐν τῇ
Λαοδικαίων[14] ἐκκλησίᾳ ἀναγνωσθῇ, καὶ τὴν ἐκ Λαοδικείας[7] ἵνα καὶ
ὑμεῖς ἀναγνῶτε. Καὶ εἴπατε Ἀρχίππῳ,[15] Βλέπε τὴν διακονίαν ἣν 17
παρέλαβες ἐν κυρίῳ, ἵνα αὐτὴν πληροῖς.

Ὁ ἀσπασμὸς[16] τῇ ἐμῇ χειρὶ Παύλου. Μνημονεύετέ[17] μου τῶν δεσμῶν.[18] 18
Ἡ χάρις μεθ᾽ ὑμῶν. Ἀμήν.

[1] συνεργός, οῦ, ὁ, fellow worker. [2] παρηγορία, ας, ἡ, comfort, encouragement. [3] Ἐπαφρᾶς, ᾶ, ὁ, Epaphras. [4] ἀγωνίζομαι, contend, struggle. [5] τέλειος, complete, perfect. [6] ζῆλος, ου, ὁ, zeal, jealousy. [7] Λαοδικεία, ας, ἡ, Laodicea. [8] Ἱεράπολις, εως, ἡ, Hierapolis. [9] Λουκᾶς, ᾶ, ὁ, Luke, Lucas. [10] ἰατρός, οῦ, ὁ, physician. [11] Δημᾶς, ᾶ, ὁ, Demas. [12] Νυμφᾶς, α, ὁ, Nymphas. [13] ἐπιστολή, ῆς, ἡ, letter, dispatch. [14] Λαοδικεύς, έως, ὁ, Laodicean. [15] Ἄρχιππος, ου, ὁ, Archippus. [16] ἀσπασμός, οῦ, ὁ, greeting, salutation. [17] μνημονεύω, remember, make mention of. [18] δεσμός, οῦ, ὁ, chain, bond.